προσενεστάτοις· καὶ ὅστις πλείστας προσόδους παρασκευάζει, τὴν ἰδιωτῶν μηδένα δημεύων· καὶ ὅστις ἑαυτὸν δίκαιον παρέχων τοὺς ἀδικοῦντάς τι τῶν κοινῶν ἐξετάζει. Δωροῦνται δὲ πάντες, ἐλπίζοντες ὠφεληθήσεσθαι, ἢ τῶν προτέρων εὐεργεσιῶν χάριν ἀποδιδόντες. Ὑπηρετοῦσι δὲ πάντες, κέρδους ἕνεκεν, ἢ τιμῆς, ἢ ἡδονῆς, ἢ φόβου. Συναλλάττουσι δὲ πάντες ἢ κατὰ προαίρεσιν, ἢ ἀκουσίως. αἱ γὰρ πράξεις ἐπιτελοῦνται πᾶσαι ἢ διὰ βίαν, ἢ διὰ πειθὼ, ἢ δι' ἀπάτης, ἢ διὰ προφάσεως. Ἐν δὲ πολέμῳ περιγίνονται πολεμοῦντες ἢ διὰ τύχην, ἢ διὰ σωμάτων πλῆθος, ἢ ῥώμην, ἢ διὰ χρημάτων εὐπορίαν, ἢ διὰ τόπων εὐφυΐαν, ἢ δι' ἀρετὴν συμμάχων, ἢ διὰ στρατηγοῦ γνώμην. Ἐγκαταλιπεῖν δὲ τοὺς συμμάχους ὑπολαμβάνουσι δεῖν, ἢ διὰ τὸ μᾶλλον συμφέρειν τοῦτο, ἢ διὰ τὸ καταλύσασθαι τὸν πόλεμον. Δίκαια δὲ πράττειν ἐστὶ, τὸ τοῖς κοινοῖς τῆς πόλεως ἔθεσιν ἕπεσθαι, τοῖς νόμοις πείθεσθαι, καὶ ταῖς ἰδίαις ὁμολογίαις ἐμμένειν. Συμφέρει δὲ, σώματι μὲν, εὐεξία, καὶ κάλλος, καὶ ῥώμη, καὶ ὑγίεια· ψυχῇ δὲ, σοφία, φρόνησις, ἀνδρία, σωφροσύνη, δικαιοσύνη. συναμφοτέροις δὲ τούτοις, χρήματα, καὶ φίλοι. ἀσύμφορα δὲ, τἀναντία τούτων. πόλει δὲ συμφέρον, πλῆθος πολιτῶν.

A *infirmißimos, quique sine vlla priuatorum bonorum publicatione prouentus comparat quàm plurimos, & qui sese iustißimum prabens eos in quæstionem agit, qui rerumpublicarum aliquid per iustitiam violant. Largitionibus verò vtuntur omnes, aut quoniam aliquid inde sperant commodorum, aut quò susceptorum beneficiorum gratiam referant. Obsequuntur autem omnes aut lucri, aut honoris, aut voluptatis, aut timoris gratia. Commutationibus verò* B *vtuntur omnes aut sponte, aut inuitè. Omnes enim actiones, aut vi, aut suasione, aut fraude, aut occasione perficiuntur. In bello autem vincitur aut fortuna, aut corporum multitudine, robustitatéve, aut pecuniarum copia, aut opportunitate locorum, aut virtute sociorum, aut consilio, & calliditate Imperatoris. Socios verò derelinquendos putant, aut maiore vtilitate, aut belli solutione. Iustè autem agere est, communes sequi vtilitatis consuetudines, parere le*C*gibus, priuatáque pacta seruare. Conducit autem corpori quidem bona habitudo, & formæ dignitas, aut vires, & bona valetudo: animo verò sapientia, prudentia, fortitudo, temperantia, iustitia. His autem vtrisque pecuniæ, & amici. Inutilia verò sunt horum contraria: plurimum verò vtilitatis affert bonorum ciuium multitudo.*

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ περὶ ποιητικῆς.

### Κεφάλαιον α.

ΠΕΡΙ ποιητικῆς αὐτῆς τε καὶ τῶν εἰδῶν αὐτῆς, ἥντινα δύναμιν ἕκαστον ἔχει, καὶ πῶς δεῖ συνίστασθαι τοὺς μύθους, εἰ μέλλοι καλῶς ἕξειν ἡ ποίησις· ἔτι δὲ ἐκ πόσων καὶ ποίων ἐστὶ μορίων· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα τῆς αὐτῆς ἐστι μεθόδου, λέγωμεν, ἀρξάμενοι κατὰ φύσιν, πρῶτον ἀπὸ τῶν πρώτων. Ἐποποιΐα δὴ καὶ ἡ τῆς τραγῳδίας ποίησις, ἔτι δὲ κωμῳδία καὶ ἡ διθυραμβοποιητικὴ, καὶ τῆς αὐλητικῆς ἡ πλείστη καὶ κιθαριστικῆς, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον. διαφέρουσι δὲ ἀλλήλων τρισίν· ἢ γὰρ τῷ γένει ἑτέροις μιμεῖσθαι, ἢ τῷ ἕτερα, ἢ τῷ ἑτέρως, καὶ μὴ τὸν αὐτὸν τρόπον. ὥσπερ γὰρ καὶ χρώμασι καὶ σχήμασι πολλὰ μιμοῦνταί τινες ἀπεικάζοντες. οἱ μὲν διὰ τέχνης, οἱ δὲ διὰ συνηθείας, ἕτεροι δὲ διὰ τῆς φωνῆς· οὕτω κἂν ταῖς εἰρημέναις τέχναις, ἅπασαι μὲν ποιοῦνται τὴν μίμησιν ἐν

## ARISTOTELIS liber de Poëtica.

*Antonio Riccobono interprete.*

### CAPUT I.

DE Poëtica, & ipsa, & formis ipsius, quam vim habeat vnaquæque, & quomodo oporteat componi fabulas, si habitura sit se E rectè poësis: præterea verò ex quot, & qualibus constet partibus, similiter autem & de aliis, quæ eiusdem methodi sunt: dicamus incipientes secundum naturam, primùm à primis. Iam verò Epopœia, & Tragœdiæ poesis, præterea Comœdia, & Dithyrambopoetica, & Auleticæ maxima pars, & Citharisticæ, omnes sunt imitatio in vniuersum. Differunt autem inter se tribus. aut enim quòd genere diuersis i F mitantur: aut quòd diuersa: aut quòd diuerso, & non eodem modo. Vt enim & coloribus, & figuris multa imitantur aliqui, effigiem exprimentes, partim quidem per artem, partim verò per consuetudinem: alij autem vtrisque: sic in dictis artibus omnes faciunt imitationem in numero,